97. *φιλόφρων· ἡ θεῶν ἀπάτη· ἡ γὰρ ἐκ θεοῦ, φησὶν, ἀμαύρωσις καὶ δόλωσις ἄφυκτός ἐστιν. ἅμα γὰρ δολοῖ καὶ προσαίνει καὶ κακοποιεῖ.* (95).

131. *ἅλιον πρῶνα· τὸν Ἑλλήσποντον, τὸν κοινὸν ἑκατέρας γῆς· μεταξὺ γάρ ἐστιν Εὐρώπης καὶ Ἀσίας· οἱ δὲ, ὅτι Ταῦρον τὸ ὄρος, τὸν προνεύοντα εἰς ἄμφω τὰς ἠπείρους.*

232. *δυσμῶν· ἢ τῶν δύσεων ἢ τῶν ἐκλείψεων· ὅτε γὰρ δύει ὁ ἥλιος, ἐκλείπει. ἔνθεν καὶ λὶψ ὁ ἄνεμος ἀπὸ δυσμῶν.*

*φθινασμάτων: τῶν λήξεων.*

316. *πυρσήν· ἔβρεχε τῷ αἵματι . . . τινὲς ἀντὶ τῆς γενικῆς πυρρᾶς γενειάδος· καὶ τὸ ἑξῆς, ἔτεγγεν χρῶτα.*

384. *καὶ νὺξ ἐχώρει· καὶ νὺξ ἀπεγένετο* (libr. *ἐγένετο*) *καὶ οὐδεὶς Ἑλλήνων ἠξίωσεν* (378).

419. *ναυαγίων· ναυαγία αὐτὸ τὸ πάθος, ναυάγιον δὲ αὐτὸ τὸ ναυαγῆσαν σκεῦος· διὰ τοῦτο οὖν ναυαγίων βαρυτόνως τῶν πτωμάτων·* (libr. *σωμάτων*). Vgl. schol. B. u. schol. zu Soph. Ai. 308.

437. *ῥοπῇ· τῇ κακῶν* (libr. *κακῇ*) *δηλονότι.* Vgl. schol. A.

571. *στένε καὶ δακνάζου· περὶ τῶν τεθνηκότων ἐν Σαλαμῖνι.* (568)

577. *τὸ ἑξῆς τούτου ἐστὶ, σκύλλονται πρὸς ἀναύδων.* (568)

641. *δαίμονα· τὸν καταχθόνιον.* (642 schol. A.)

818. *θῖνες: οἱ σωροὶ καίπερ φωνὴν μὴ ἀφιέντες δείξουσι τῷ γένει* (libr. *τὸ γένος*). Heimsoeth will aus Par. B. *τὸ γεγονός* lesen.

858. *πρῶτα μὲν εὐδοκίμου: πρῶτα μὲν κατὰ πόλεμον διὰ στρατιᾶς εὐδοκιμοῦμεν καὶ ὁρμῶμεν κατὰ νενομισμένα ἔθη ταῖς πόλεσι ταῖς πυργουμέναις* (libr. *πορθουμέναις*), *οὐ τεμένη θεῶν πορθοῦντες, οὐ τάφους ἀνασπῶντες, ὡς Ξέρξης τολμήσας ἐποίησεν.*

894. *Σαλαμῖνα· τὴν ἐν Κύπρῳ· ἄποικοι γάρ εἰσιν οἱ ἐν Κύπρῳ Σαλαμίνιοι τῶν ἐν τῇ Ἀττικῇ.*

900. *καὶ τὰς . . ἐκράτυνε· τῇ ἀρετῇ Ἕλληνας ὑπέταξεν, οὐκ ἀνάγκῃ ὁ Δαρεῖος.* (864)

922. *τὰν ἐγγαίαν· ἡ γῆ ἡμῶν τὴν ἔξω τῆς γῆς ἥβην σεσαγμένην ὑπὸ τοῦ Ἅιδου καὶ διὰ τὸν Ξέρξην κταμένην αἰάζει. — τὸ ἑξῆς, ἥβαν Περσᾶν . . . τοῦτ' ἔστι τὴν ἐγχωρίαν . . .*

923. *Ξέρξῃ κταμέναν· ὅτι δι' αὐτὸν ἀπέθανεν.* (924)

926. *φύστις· ἔκφυσις, γονή. τοῦτο διὰ μέσου.*

SLUB Wir führen Wissen. UNIVERSITÄT LEIPZIG